# ΚΥΡΙΑΚΗ Ε′ ἀπὸ τοῦ ΠΑΣΧΑ

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ Ἀνάστασις



*Τοιχογραφία (1527), διὰ χειρὸς Θεοφάνους τοῦ Κρητός, Ἱ. Μ. Ἁγίου Νικολάου Ἀναπαυσᾶ, Μετέωρα.*

**Ἀπολυτίκιον Ἀναστάσιμον.** Ἦχος δ′.

**Τ**ὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι, αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

* * *

## Ἡ Σαμαρεῖτις

**Ἀπολυτίκιον τῆς Ἁγίας Φωτεινῆς.** Ἦχος δ′. Ταχὺ προκατάλαβε.

**Τ**ὸ ὕδωρ ὡς ἤντλησας, τῆς αἰωνίου ζωῆς, εὑροῦσα καθήμενον, παρὰ τὸ φρέαρ σεμνή, Χριστὸν τὸν Θεὸν ἡμῶν, λόγοις σου θεηγόροις, καὶ ἐν ἄθλοις ἀνδρείοις, ᾔσχυνας τὴν ἀπάτην, Ἰσαπόστολε Μάρτυς· διό σε Ἀθληφόρε Φωτεινή, ὕμνοις γεραίρομεν.

**Κοντάκιον.** Ἦχος πλ. δ′. Πίστιν Χριστοῦ.

**Π**ίστει ἐλθοῦσα ἐν τῷ φρέατι, ἡ Σαμαρεῖτις ἐθεάσατο, τὸ τῆς Σοφίας ὕδωρ Σε, ᾧ ποτισθεῖσα δαψιλῶς, βασιλείαν τὴν ἄνωθεν ἐκληρώσατο αἰωνίως ἡ ἀοίδιμος.

**Στίχοι.**

**Ὕ**δωρ λαβεῖν ἐλθοῦσα τὸ φθαρτὸν γύναι,
**Τ**ὸ ζῶν ἀπαντλεῖς, ᾧ ῥύπους ψυχῆς πλύνεις.

## Τῇ Κυριακῇ τῆς Σαμαρείτιδος

*(Πράξ. ια′ 19-30· Ἰωάν. δ′ 5-42)*

**Μία** τῶν ἀρχαιοτάτων πόλεων τῆς Γῆς τῆς Ἐπαγγελίας ὑπῆρχεν ἡ Συχέμ, ἥτις καὶ Σίκιμα ἐκαλεῖτο, κειμένη εἰς τοὺς πρόποδας τοῦ κατὰ τὰ ἀνατολικὰ μέρη τῆς Ἱεριχοῦς ὄρους Γαριζίν, ὅπου ποτὲ ἀνέγνωσαν οἱ Ἰσραηλῖται τὰς εὐλογίας, ὡς ἐν Δευτερονομίῳ, κεφαλαίῳ ια′. **Π**λησίον τῆς πόλεως ταύτης, ἐπανερχόμενος ὁ Ἰακὼβ ἀπὸ τῆς Μεσοποταμίας, πρὸ Χριστοῦ περίπου 1887 ἔτη, ἠγόρασεν ὑποστατικόν, ἐν ᾧ ὑπῆρχε καὶ φρέαρ σῳζόμενον ἕως ἐπὶ Χριστοῦ καὶ καλούμενον πηγὴ τοῦ Ἰακώβ.



*Τοιχογραφία (1527), διὰ χειρὸς Θεοφάνους τοῦ Κρητός, Ἱ. Μ. Ἁγίου Νικολάου Ἀναπαυσᾶ, Μετέωρα.*

Ὕστερον δέ, ἀποθνήσκων ἐν Αἰγύπτῳ, κατέλιπε τὸ ὑποστατικὸν ἐκεῖνο εἰς κληρονομίαν ἐξαίρετον τῷ υἱῷ αὐτοῦ Ἰωσὴφ (Γεν. μγ΄ 19, λη΄ 22). Ἡ πόλις αὕτη, πρὶν κτισθῇ ἡ Σαμάρεια, ἐχρημάτισε καὶ μητρόπολις τοῦ βασιλείου τῶν δέκα φιλῶν· καὶ ἐπειδὴ ὁ λαὸς τούτων, καταλιπόντες τὴν λατρείαν τοῦ ἀληθινοῦ Θεοῦ, ἐδόθησαν μανικῶς εἰς τὴν εἰδωλολατρίαν, ἐμπαίζοντες αὐτοὺς οἱ εἰς τὴν εὐσέβειαν ἐμμείναντες Ἰουδαῖοι, ὥς τινες λέγουσι, μετωνόμασαν τὴν πόλιν αὐτῶν Σιχάρ, ὅπερ σημαίνει μέθην· ὡς καὶ τὸ ἐξ αὐτοῦ παραγόμενον σίκερα, πᾶν εἶδος μεθυστικοῦ ποτοῦ.

Εἰς ταύτην οὖν τὴν πόλιν ἐλθὼν ὁ Ἰησοῦς ἐν ὥρᾳ μεσημβρίας, καὶ ἐκ τῆς ὁδοιπορίας καὶ τῆς καύσεως κεκοπιακώς, ἐκάθισε παρὰ τὴν εἰρημένην πηγήν. Μετ᾽ ὀλίγον ἦλθεν ἐκεῖ καὶ ἡ ἐν τῇ εὐαγγελικῇ περικοπῇ τῆς σήμερον ἱστορουμένη Σαμαρεῖτις γυνὴ ἀντλῆσαι ὕδωρ, καὶ συνομιλήσασα μετὰ τοῦ Ἰησοῦ διεξοδικῶς, καὶ ἀκούσασα παρ᾽ Αὐτοῦ τὰ ἑαυτῆς ἀπόκρυφα, ἐπίστευσεν εἰς Αὐτόν· δι᾽ αὐτῆς δὲ καὶ πολλοὶ ἄλλοι συμπολῖται αὐτῆς Σαμαρεῖται.

Περὶ δὲ τῶν Σαμαρειτῶν τούτων ἰστέον ὅτι, τῷ 721 ἔτει πρὸ Χριστοῦ, Σαλμανάσαρ ὁ τῶν Ἀσσυρίων βασιλεύς, αἰχμαλωτίσας τὰς ἀνωτέρω δέκα φυλὰς τῶν Ἰσραηλιτῶν, μετῴκισεν ἅπαντα τὸν λαὸν εἰς τὴν Βαβυλωνίαν καὶ Μηδίαν· ἐκεῖθεν δὲ συναγαγὼν διάφορα ἔθνη ἀπέστειλεν αὐτὰ εἰς τὴν Σαμάρειαν. Τὰ ἔθνη ταῦτα ἦσαν εἰδωλολάτραι ἐξ ἀρχῆς· διδαχθέντες δὲ ὕστερον καὶ τὴν Ἰουδαϊκὴν πίστιν, ἐπίστευον μὲν εἰς τὸν ἀληθινὸν Θεόν, ἐλάτρευον ὅμως καὶ τὰ εἴδωλα· καὶ δεχόμενοι τὴν Πεντάτευχον μόνον τοῦ Μωϋσέως, ἀποστρεφόμενοι δε τὰ λοιπὰ βιβλία τῆς ἁγίας Γραφῆς, ἐνόμιζον αὐτοὺς τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰακὼβ ἀπογόνους. Τούτους οὖν τοὺς ἰουδαΐζοντας καὶ εἰδωλολατροῦντας ἐν ταὐτῷ ὠνόμαζον οἱ εὐσεβεῖς Ἰουδαῖοι Σαραρείτας, ὡς κατοικοῦντας τὴν Σαμάρειαν, τὴν πρώτην μητρόπολιν τῶν Ἰσραηλιτῶν, καὶ τὰς λοιπὰς αὐτῶν πόλεις, ἀπεστρέφοντο δὲ αὐτοὺς ὡς ἐθνικοὺς καὶ ἀλλοφύλους, καὶ οὐδεμίαν κοινωνίαν εἶχον πρὸς αὐτούς, κατὰ τό, «οὐ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις». Ἐντεῦθεν τὸ ὄνομα Σαμαρείτης ἀναφέρεται καταφρονητικῶς πολλαχοῦ τῆς εὐαγγελικῆς ἱστορίας.

❖